Ephraem Syrus; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 275



μήποτε ἐν τούτοις καταλογισθήσῃ οὐ μετὰ πολὺ, καθότι τῆς αὐτῆς ὑπάρχεις φύσεως. Ὁπηνίκα οὖν ἐν ἄλλῳ θεωρήσωμεν τι τῶν λυπηρῶν, ἑαυτοὺς ἐν ἐκείνῳ ἐνοπτρισώμεθα, ὅτι οὐκ οἴδαμεν τί τέξεται ἡ ἐπιοῦσα. πολλῆς γὰρ ἀνίας καὶ ἀλγημάτων πεπλήρωται ἡμῶν τὸ σῶμα. Τοίνυν ἐπιστάμενοι τὴν ἀσθένειαν τῆς ἑαυτῶν φύσεως, μὴ ὦμεν ὑπερήφανοι καὶ ἀσυμπαθεῖς, ἀλλὰ διὰ τῆς εἰς ἀλλήλους συμπαθείας, εὐδιάλλακτον σχῶμεν τὸν Δημιουργὸν τὸν δυνάμενον ἀλγεινὸν ποιεῖν καὶ πάλιν ἰᾶσθαι, καὶ κατάγειν εἰς ᾅδου καὶ ἀνάγειν. κἂν πρὸς βραχὺ ἔρρωται ἡμῶν τὸ σῶμα, ἀλλ' οὐκ οἴδαμεν τί τέξεται ἡ ἐπιοῦσα.

## ΞΒ.

ΜΗ' ἐπαίρου ἐπὶ τὸν ἡμαρτηκότα, μηδὲ ἐρέθιζε τὸν μὴ ἡμαρτηκότα ἁμαρτάνειν. ἀμφότερα γὰρ ἀσύμφορα καὶ ἐπικίνδυνα. Εἰ δὲ βούλει χρήσιμον σεαυτὸν ἀποκαταστῆσαι, ἑκατέροις τύπον πάρεχε σεαυτὸν καλῶν ἔργων, ἐκχέων δακρύων ὀχετοὺς ἔναντι Κυρίου, ἵνα τὸν μὲν πεσόντα ἀναστήσῃ ὁ Κύριος, τὸν δὲ ἑστῶτα μὴ ἁλῶναι ὑπὸ τῆς ἁμαρτίας. Κριτὴς δὲ εἷς ἐστιν, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι.

## ΞΓ.

ΜΗ' τάρασσε σύστημα ἀνδρῶν ἀσκητῶν ψαλλόντων τῷ Κυρίῳ, αὐθαδείᾳ λογισμῶν φερόμενος, ἵνα μὴ θεήλατος πληγή σοι ἔλθῃ. τὸ γὰρ εἰς Θεὸν ἁμαρτάνειν, χαλεπὸν καὶ ἀσύγγνωστον. Πνεύματα προφητῶν προφήταις ὑποτάσσεται· οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεὸς, ἀλλ' εἰρήνης.

## ΞΔ.

ΝΕ'ος τυγχάνων σιωπὴν ἄγε καὶ τὴν ἀοκνησίαν. ἡ γὰρ ἀοκνησία ἀβαρῆ σε τηρεῖ. ἡ δὲ σιωπὴ τὸ φέγγος τῆς ψυχῆς ἄσβεστον διαφυλάττει, μὴ συγχωροῦσα ὑπὸ κακίας ἐπισκοτίζεσθαι.

## ΞΕ.

ΠΑρέστω σοι ἡ ταπεινοφροσύνη ἐν παντὶ τόπῳ καὶ ἐν πᾶσιν οἷς διαπράττῃ· καθάπερ γὰρ τὸ σῶμα ἐπιδέεται ἱματίου, κἂν θάλπος ᾖ, κἂν κρυμὸς ἐνέστηκεν, οὕτω καὶ ἡ ψυχὴ ἐπιδέεται ἀνελλιπῶς τῆς ἐν ταπεινοφροσύνῃ περιστολῆς. Κτῆμα καλὸν ἐστὶ



A teipſum conſidera, ne paulo poſt in eaſdem
quoque ipſe calamitates incidas. Quando-
cumque igitur in alio triſte aliquod ac grave
perſpexerimus, in illo nos velut in ſpeculo
contemplemur: *neſcimus enim, quid craſti-* Proverb. 27.
*na paritura ſit dies*. Multis namque dolori- Jacob. 4.
bus atque calamitatibus noſtrum corpus ob-
noxium eſt. Quocirca infirmitatis propriæ
conſcii naturæ, ab omni ſuperbia & inhuma-
nitate alieni ſimus; mutuaque nos benignitate
B ac commiſeratione complectentes, Creatorem
nobis propitium reddamus, qui potens eſt nos
tum morbis affligere, tum ſanare; deducere ad
inferos, & reducere. Licet enim ad modicum Tob. 13.
tempus firmitate corporis valeamus; quid po- Prov. 27.
ſtera tamen paritura ſit dies, neſcimus.

## LXII.

C SUper peccatore ne extollaris: & inno-
centem ad peccandum cave incitaveris.
Utrumque enim perniciosum eſt, & pericu-
loſum. Si autem te utilem exhibere velis,
utrique te formam & exemplum bonorum
operum præbeto, rivos lacrymarum coram
Domino effundens: ut & lapſum Dominus
a peccatis excitet, & ſtantem a peccato-
rum laqueis eripiat. Unus enim judex eſt, Jacob. 4.
qui poteſt ſalvare, & perdere.

D

## LXIII.

NOli Aſcetarum Deo pſallentium cœ-
tum, arrogantia cogitationum elatus,
perturbare, ne divinitus emiſſa in te plaga
deſcendat. Siquidem in Deum peccare, gra-
ve ſimul & exitiale eſt. Prophetarum ſpi-
ritus Prophetis ſubjecti ſunt: *non enim eſt* 1. Cor. 14.
E *diſſenſionis Deus, ſed pacis*.

## LXIV.

ADoleſcens cum ſis, ſilentio & diligentia
delectare. Siquidem diligentia te nemi-
ni oneroſum ſervat: at lumen animæ inex-
tinguibile, ſervat taciturnitas, non ſinens
a malitia ſplendorem ejus obtenebrari.

F

## LXV.

IN omni loco, & quocumque in opere hu-
militatem tibi comitem adhibe. Sicut
enim corpus, ſive calori, ſive frigori obno-
xium ſit, veſtimento indiget: ita & anima
perpetuo humilitatis indumento habituque
opus habet. Pulchra atque eximia poſſeſ-



http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0523
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg